# ΙΑΜΑΤΙΚΗ ΧΑΡΙΣ

ΗΤΟΙ
ΒΙΒΛΙΑΡΙΔΙΟΝ ΠΕΡΙΕΧΟΝ
ΚΔ' ΟΙΚΟΥΣ
ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ
Καὶ μίαν Εὐχήν, ἱκετηρίως λεγόμενα ἔμπροσθεν τῆς Θείας Εἰκόνος, τῆς Μεγαλομάρτυρος

# ΑΓΙΑΣ ΒΑΡΒΑΡΑΣ

Ἀρίστως συντεθέντα παρὰ τοῦ Ἱερομονάχου
ΚΥΡΙΟΥ ΡΑΦΑΗΛ
Τοῦ ἐν τῇ Ἱερᾷ σκήτῃ Καυσοκαλύβῃ ἀσκουμένου
Τῇ ὑπὸ τὴν μεγίστην
ΚΑΙ ΑΓΙΑΝ ΛΑΥΡΑΝ
Ἐπιμελείᾳ καὶ διορθώσει προηγουμένου
ΚΥΡΙΛΟΥ ΛΑΥΡΙΩΤΟΥ
Νῦν δὲ ἐκδοθέντα παρὰ Κυρίου
ΧΡΙΣΤΟΔΟΥΛΟΥ ΜΟΥΤΣΟΥ ΑΝΑΓΝΩΣΤΟΥ
ΤΟΥ ΙΕΡΕΩΣ ΔΗΜΗΤΡΙΟΥ

ΕΝ ΚΕΡΚΥΡᾼ
ΤΥΠΟΓΡΑΦΕΙΟΝ «ΑΘΗΝΑ»
ΑΡΣΕΝΙΟΥ ΚΑΟΥ

1868

# ΠΑΣΙ ΤΟΙΣ ΠΟΘΟΥΣΙ ΤΗΝ ΥΓΕΙΑΝ ΚΑΙ ΕΥΡΩΣΤΙΑΝ

Διὰ τῆς παρούσης τοῦ ἱεροῦ τούτου βιβλιαρίου ἐκδόσεως, σκοπὸν προτίθεμαι τὴν κοινὴν ὠφέλειαν πάντων τῶν εὐσεβῶν Χριστινῶν. Κύριος σκοπὸς ὅστις παρώτρυνέ με εἰς τὴν ἔκδοσιν τοῦ προκειμένου, εἶναι ἡ σπάνις τοῦ βιβιαρίου, ἐπειδὴ λοιπὸν εἰς πᾶσαν ἀνάγκην τοῦ εὐλαβοῦς Χριστιανοῦ ἀναγκαῖα εἰσὶ τὰ πρὸς πνευματικὴν ἴασιν Ἐκκλησιαστικὰ βιβλία, καὶ ἐπειδὴ κυρίως τὸ παρὸν συντείνει διὰ τὰς κατὰ καιρὸν λυμαινούσας τὸ ἀνθρώπινον γένος ἀσθενείας, διὸ ὡς ἀνωτέρω προέφην ἐκδίδω αὐτὸ κατὰ χάριν τοῦ χριστιανικοῦ πληρώματος, ἐν καιρῷ καθ' ὃν ἤδη ἀνεφάνησαν δυστυχῶς συμπτώματα τῆς νόσου εὐφλογίας.

Δέχθητε τοίνυν, ὦ εὐμενεῖς Χριστιανοί, τὸ ἱερὸν τοῦτο βιβλιαρίδιον σκοποῦντες πρῶτον μὲν διὰ τὴν ψυχικὴν ὠφέλειαν, δεύτερον δέ, ἐπαρκοῦντες εἰς τὸν ζῆλον ἐμοῦ.

Ὁ Ἐκδότης
Χριστ. Μοῦτσος Ἀναγνώστης.

# ΟΙΚΟΙ ΚΑΤ’ ΑΛΦΑΒΗΤΟΝ

Ψαλλόμενοι μετὰ φόβου Θεοῦ καὶ πάσης κατανύξεως,
ἔμπροσθεν τῆς ἁγίας Εἰκόνος τῆς πανενδόξου καὶ ἀθλοφόρου Μεγαλο-
μάρτυρος

## ΒΑΡΒΑΡΑΣ

ἐν καιρῷ λοιμικῶν νοσημάτων καὶ θλίψεων.

ΠΟΙΗΜΑ ΤΟΥ ΙΕΡΟΛΟΓΙΩΤΑΤΟΥ ΚΥΡΙΟΥ
ΡΑΦΑΗΛ ΚΑΥΣΟΚΑΛΥΒΙΤΟΥ

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τὴν Χριστομάρτυρα πιστοί, καὶ Νύμφην ἄσπιλον,
Τὴν Καλλιπάρθενον ὁμοῦ, καὶ Ἀειπάρθενον,
Ὕμνοις στέψωμεν Βαρβάραν τὴν ἀθλοφόρον,
Ὡς λυτρουμένην λοιμικοῦ παντὸς νοσήματος,
Τοὺς ἐν Εἰκόνι αὐτῇ πόθῳ προσπίπτοντας,
Καὶ κραυγάζοντας,
Χαίροις Κόρη Θεόνυμφε.

Ἄγγελοι ἐν τοῖς ἄνω, καὶ βροτοὶ ἐν τοῖς κάτω, ὑμνεῖν σε πρὸς ἀξίαν Βαρβάρα, οἱ μέν, ἀϋλωτάταις ᾠδαῖς, οἱ δέ, ἐν ὑλαίοις φωναῖς μὴ σθένοντες, γηθόμενοι θαμβούμεθα, βοῶντες ἐκτενῶς σοι ὧδε.
Χαῖρε, δι’ ἧς ἡ Τριὰς ἐκλάμπει·
χαῖρε, δι’ ἧς ἡ παλλὰς[1] ἐκλείπει.
Χαῖρε, ἀγεννήτου Πατρὸς, κόρη ἄμωμος·
χαῖρε, μονογενοῦς Υἱοῦ, Νύμφη ἄνυμφος.
Χαῖρε, ἡ Θεολογήσασα τὴν Τριάδα ἐν φωτί·
χαῖρε, κρήνην προθεσπίσασα, ἰαμάτων ἐν λουτρῷ.

[1] παλλάς= Ἐπίθετον τῆς Ἀθηνᾶς.

Χαῖρε, ὅτι ἠράσθη, ἡ Τριὰς τοῦ σοῦ κάλλους·
χαῖρε, ὅτι προσήχθης, καθαρὰ ἐν Τριάδι.
Χαῖρε, ἰλύν, Δυάδος συρρήξασα[2]·
χαῖρε, αὐγὴν Τριάδος κηρύξασα.
Χαῖρε, δι' ἧς ὁ Σταυρὸς ἐκτυποῦται·
χαῖρε, δι' ἧς, ὁ ἐχθρὸς ἐκμειοῦται.

Χαῖρε, Κόρη Θεόνυμφε.

**Β**λέπουσα ἐν Ῥωσίᾳ εὐσεβῶς ἡ Δακία, τὸ σὸν παρθενικὸν ἁγνὴ σκῆνος, καὶ τῶν παραδόξων τὸ σμῆνος, ὕμνοις σε καὶ οὗτοι εὐλαβῶς γεραίρουσι, μεθ' ἡμῶν αὐτῶν θεολογοῦντες, ᾆσμα τὸ τρισύνθετον.

Ἀλληλούϊα.

**Γ**νῶσιν ἄγνωστον γνῶναι, τὸν γενέτην ποθοῦσα, Βαρβάρα ἐβόα τοῖς τεχνίταις, τρίτην θυρίδα ἐκ δυοῖν, ἐπιτεχνᾶσθαι τῷ βαλανείῳ[3] βούλομαι, ἵνα πᾶς τις βλέπων τὸ φῶς τοῦ φωτοδότου λέγει οὕτω.

Χαῖρε, φωτὸς, τῆς Τριάδος κῆρυξ·
χαῖρε, πασῶν, ἀρετῶν ἡ κύλιξ[4].
Χαῖρε, ἰαμάτων πηγὴ ἡ ἀένναος·
χαῖρε, ἀνιάτως νοσούντων συνούλωσις[5].
Χαῖρε, κάλλος τὸ ἀπόθετον[6], μῦρον τὸ ἐκκενωθέν·
χαῖρε, εὐανθὴς παράδεισος, καὶ χαρίτων ὁ λειμών.
Χαῖρε, σεμνὴ Βαρβάρα, νικηφόρε Παρθένε·
χαῖρε, ἡ ἐκλεγμένη, πάγκαλλε τοῦ Χριστοῦ Νύμφη.
Χαῖρε, τὸ φῶς, Τριάδος ἡ βλέψασα·
χαῖρε, τὸ πῦρ τῆς πλάνης ἡ σβέσασα.

---

[2] τοῦ ῥήματος συρρήγνυμι=θραύω, σπάζω (Ὁ ποιητὴς ὑπαινίσσεται τὴν κατασκευὴν τῶν τριῶν παραθύρων πρὸς τιμὴν τῆς Ἁγίας Τριάδος, ἀντὶ δύο ποὺ εἶχε διατάξει ὁ εἰδωλολάτρης πατέρας της)
[3] βαλανεῖον=λουτρόν.
[4] κύλιξ=ποτήριον
[5] συνούλωσις=ἡ διὰ πληγῶν ἴασις καὶ θεραπεία.
[6] ἀπόθετον=κρυμένον, μυστηριῶδες

Χαῖρε, σοφῶν, τῶν τὰ Θεῖα σεμνεῖον·
χαῖρε, πατρός, ἀσεβοῦς ἱερεῖον.

Χαῖρε, Κόρη Θεόνυμφε.

Δυνάμει τῆς Τριάδος, ἀνδρωθέν σου τὸ θῆλυ, ἐν τῷ φρικωδεστάτῳ σταδίῳ, διασκοποῦσα Ἰουλιανή, καὶ αὐτὴ ἀνάπτεται πρὸς τὰ ὅμοια, καὶ ἀνύει τὸν μακάριον ἆθλον μετὰ σοῦ βοῶσα.

Ἀλληλούϊα.

Ἔχουσα ἡ Ῥωσία, σοῦ τὸ δέμας τὸ θεῖον, ἀναγράφει σοι τοὺς χαριστηρίους· σὴν δὲ κάραν πλουτοῦντες ἡμεῖς, πῶς οὐχὶ τοῖς αὐτοῖς καταστέψωμεν, καὶ μέλεσιν ὡς βέλεσι βάλωμεν τὸν βελίαρ τοῖς δε.
Χαῖρε, τοῦ Ἀδὰμ εὐανθὴς πτόρθος[7]·
χαῖρε, τῆς Εὔας ἀπαθὲς ἄνθος.
Χαῖρε, τὸν σταυρὸν, τῇ χειρὶ ἐγγράψασα·
χαῖρε, τὸν αὐτῷ τανυθέντα δοξάσασα.
Χαῖρε, πνεύματα ἐλαύνουσα, ὀλοθρεύοντα ἡμᾶς·
χαῖρε, χεύματα ὀμβρίζουσα, τῶν θαυμάτων δαψιλῶς.
Χαῖρε, εὐτονωτέρα καὶ χαλκοῦ καὶ σιδήρου·
χαῖρε, τιμιωτέρα καὶ χρυσοῦ καὶ σαπφείρου.
Χαῖρε, Θεοῦ ἐλαία χρυσόκλονος·
χαῖρε, λοιμοῦ ἐξώλειαν[8] λύουσα.
Χαῖρε, θυμοῦ τοῦ Θεοῦ ἡ γαλήνη·
χαῖρε, ἡμῶν πρὸς Θεὸν ἡ εἰρήνη.

Χαῖρε, Κόρη Θεόνυμφε.

[7] πτόρθος=νεαρὸς κλάδος, βλαστάρι.
[8] ἐξώλεια=παντελὴς καταστροφή.

**Ζ**άλην καὶ τρικυμίαν, καὶ ὀργήν τε καὶ θλῖψιν, θεηλάτως ἡμᾶς μαστιγοῦντα, καὶ ζέοντα καθ’ ἡμᾶς, καὶ ἐκδότους ποιοῦντα ὀλετῆρσι πνεύμασι, κατευνάζεις εὐΐλατε, καὶ ἅπαντας προτρέπεις μέλπειν.

Ἀλληλούϊα.

**Ἤ**κουσαν οἱ τεχνῖται, τῆς θεηγόρου Κόρης, καὶ Τρίτην προστιθεῖσι θυρίδα, τοῦ τριλαμποῦς φωτὸς εἰς τύπον, Πατρός, Υἱοῦ, καὶ Ἁγίου Πνεύματος· παρ’ οὗ οἱ φωτισθέντες βοῶμεν πρὸς αὐτὴν τοιαῦτα.

Χαῖρε, φωτὸς τριφεγγοῦς θυγάτηρ·
χαῖρε, ψυχῶν, φωτοδόχον φάος.
Χαῖρε, τοῦ Πατρὸς καὶ Υἱοῦ τὸ ἀνάκτορον·
χαῖρε, ὢ σεπτὸν Παρακλήτου ἀλάβαστρον.
Χαῖρε, ὅτι Θεοδίδακτος ῥητορεύεις τὸ τριττόν·
χαῖρε, ὅτι ἀκατάπληκτος μένεις ἐν τοῖς πειρασμοῖς.
Χαῖρε, ἡ Θεηγόρος, καὶ Παρθένος καὶ Μάρτυς·
χαῖρε, ἡ στεφηφόρος, ἀληθὴς καὶ κατ’ ἄμφω.
Χαῖρε, τερπνὸν τῆς ἕω ἀγλάϊσμα·
χαῖρε, λαμπρὸν Εὐρώπης θησαύρισμα.
Χαῖρε, δι’ ἧς ἐκποδὼν κακὸς πότμος·
χαῖρε, δι’ ἧς προθεσμία ἐφεῖται.

Χαῖρε, Κόρη Θεόνυμφε.

**Θ**εορρῆμον Βαρβάρα, τοῦ Θεανθρώπου Λόγου θέσει θυγάτηρ χρηματίζεις. Διὸ καὶ ἀπαθανατίζεις πάντας, τοὺς Θεοπρεπῶς σοι προσθέοντας[9], θανάτου θνητοῦ καὶ ἀθανάτου λυτρουμένη, καὶ βοῶντας,

Ἀλληλούϊα.

---

[9] προσθέοντας: τοῦ ῥήματος προσθέω=τρέχω πρὸς κάποιαν κατεύθυνσιν

Ἴδον τῶν οὐρανίων, ὑπερκόσμιοι νόες, τὸν φύσαντα χειρὶ παιδοκτόνῳ, ἐκμανέντα τοιαύτῃ παιδί, καὶ οὕτω ξέοντα ἀφειδῶς, καὶ σπαράττοντα θηρὸς τρόπον, καὶ ὡς ἥδιστα αὐτῇ ἔκραξαν.

Χαῖρε, οἷον σῶμα ἐκδοῦσα ταῖς μάστιξι·
χαῖρε, δι' ἀγάπην παθοῦσα Νυμφίου σου.
Χαῖρε, σχέσιν ἡ τὴν πάτριον, παριδοῦσα ἐν χαρᾷ,·
χαῖρε, γῆθεν πρὸς οὐράνια ἐνδημοῦσα καθαρά.
Χαῖρε, χαιρόντων Ἀγγέλων τῇ σῇ καρτερίᾳ·
χαῖρε, κλαιόντων Δαιμόνων, τῇ σφῶν αὐτῶν ἥττῃ.
Χαῖρε, ψευδῆ τὴν πλάνην ἡ δείξασα·
χαῖρε, ἁγνὴν σφραγῖδα τηρήσασα.
Χαῖρε, ἀΰλων τερπνὴ εὐωχία·
χαῖρε, Χριστοῦ θαυμαστὴ εὐωδία.
Χαῖρε, Κόρη Θεόνυμφε.

Κάκιστε ὦ ποιμένων οἷαν Θεοῦ ἀμνάδα οὐ προσσαίνεις[10] σὺν τῷ λύκῳ τεκόντι; πῶς οὐχ εἷλέ[11] σε δείλαιε, οἷκτος τοιαύτης παιδὸς καὶ ἔλεος; ῥῦσαι ἡμᾶς Χριστὲ θηριωδίας, τοὺς εἰδότας ψάλλειν,
Ἀλληλούϊα.

Λάμπεις ἐν τῇ ἑσπέρᾳ, δῦσα κατὰ τὴν ἕω, ἠγλάϊσας γὰρ ταύτην σπαργάνοις, καὶ κατήστραψας πάλιν ἡμᾶς, ἀπολαύοντάς σου τῶν καλῶν πάναγνε, θαυμάτων καὶ λειψάνων τῶν ὄλβων καὶ βοῶντες ταῦτα.

Χαῖρε, τὸ κάλλος τῆς παρθενίας·
χαῖρε, τὸ κάρφος[12] τὸ τῆς πελείας[13].

---

[10] προσσαίνω=χαϊδολογῶ.
[11] εἷλε: τοῦ ῥήμαρος εἷλω=περισφύγγω, συμπιέζω.
[12] κάρφος=τὸ πολὺ μικρὸν ξηρὸν ξύλον.
[13] πέλεια=εἶδος περιστερᾶς σκοτεινοῦ χρώματος.

Χαῖρε, τὴν πατρῴαν μανίαν μὴ δείσασα·
χαῖρε, τὴν ἑῶον βλακείαν μισήσασα.
Χαῖρε, σώματος εὐγένειαν, παραδοῦσα αἰκισμοῖς·
χαῖρε, ἄνθος τῆς νεότητος, καὶ τῆς ὥρας τὴν ἀκμήν.
Χαῖρε, ἐξ ἀκανθώδους ἐκφυὲν ῥίζης ῥόδον·
χαῖρε, ἄθλων ὁ στάχυς, βρίθων καρπὸν ὡραῖον.
Χαῖρε, σεμνῶν παρθένων ὀψώνιον·
χαῖρε, ψυχῶν ἁγνῶν τὸ ὀσφράδιον.
Χαῖρε, λοιμὸν ἡμῶν ἀποσοβοῦσα·
χαῖρε, θυμὸν Θεοῦ ἐξιλεοῦσα·
Χαῖρε, Κόρη Θεόνυμφε.

Μάστιγος λυμεῶνος, τοῦ παρόντος αἰῶνος, καὶ δυσμενοῦς τοῦ ἀπατεῶνος, ἀπαλλάξαις ταῖς σαῖς Θεοδέκτοις λιταῖς, πάντας τοὺς προσιόντας σοι ἐκ πόθου, καὶ μεταχωροῦντας πρὸς βίον βελτίω κράζειν,
Ἀλληλούϊα.

Νέαν Θέκλαν ὁρῶσα, ἡ πρωτόαθλος Θέκλα, δεξαμένην σχισθεῖσαν τὴν πέτραν, τερατουργήσαντος τοῦ Χριστοῦ, καὶ τηρήσαντός σε, ὥσπερ ἀνέπαφον, πατρὸς λυσσώδους ἐπιβουλῆς, νεύμασιν ἀθεάτοις ἐκρότει ταῦτα.
Χαῖρε, ὁ νάρδος Χριστοῦ Νυμφίου·
χαῖρε, περιστερὰ ἡ τοῦ Νῶε.
Χαῖρε, τὸ ἀμήχανον κάλλος ποθήσασα·
χαῖρε, διαρρέουσαν δόξαν πατήσασα.
Χαῖρε, ἡ ἀναπληρώσασα τὴν Θυσίαν Ἰσαάκ·
χαῖρε, φύντα[14] ἡ τεφρώσασα ὀβελίαν Ἀβραάμ.

[14] γ'. Ἑνικὸν πρόσωπον Μετοχῆς Ἀορίστου τοῦ ῥήματος φύομαι.

Χαῖρε, τῇ παντευχίᾳ τοῦ σταυροῦ φραξαμένη·
χαῖρε, αὐτοχειρία πατρικῇ τεθυμένη.
Χαῖρε, ἀμνὰς Χριστοῦ ἡ ἀμίαντος·
χαῖρε, μητρὸς αὐτοῦ ἡ ἀντίδοτος.
Χαῖρε, ἁγνῶν νεανίδων γενναία·
χαῖρε, ὑπὲρ τὴν σοφὴν Ἀβιγαίαν.

Χαῖρε, Κόρη Θεόνυμφε.

Ξένον θέαμα βλέπω τεμνομένων μαστῶν σου, τὸν νοῦν εἰς οὐρανοὺς ἀνέσχες· οὕτως ἄρα ὁ ὑπερουράνιος σαρκοφόρος ὤφθη ἐπὶ γῆς ἄνθρωπος, ἵνα σε γενναιόφρον, οὐρανόφρονα δείξῃ μελῳδοῦσαν.

Ἀλληλούϊα.

Ὅλη εἶ ἡ πλησίον, ὡς καλή, ὡς ὡραῖα, καὶ μῶμος ὅλως ἐν σοὶ οὐκ ἔστι, καὶ τῷ νυμφῶνι χοροβατεῖς τοῦ σοῦ ὡραίου Νυμφίου, σὺν ταῖς φρονίμοις φρονίμη παρθένε νεάνησιν, παρ’ ὧν ἀκούεις οἷα.
Χαῖρε, ἁγνείας, εὔσμον κρῖνον·
χαῖρε, μανίας πατρικῆς κρείττων.
Χαῖρε, παρθενίας Ἀγγέλων διάγραμμα·
χαῖρε, ἀφθορίας παρθένων τὸ ἄγαλμα.
Χαῖρε, σὺ γὰρ τὸν Νυμφίον σου ἐπεπόθησας Χριστόν·
χαῖρε, σὺ γὰρ τὴν λαμπάδα σου διηυπρέπισας φαιδρῶς.
Χαῖρε, ἀπενεχθεῖσα τῷ βασιλεῖ παρθένος·
χαῖρε, προεκλεχθεῖσα εἰς τὴν ὀσμὴν τοῦ μύρου.
Χαῖρε, ἀμνὰς τὸ ἔριον βάψασα·
χαῖρε, λαμπὰς ἐλαίῳ ἡ ἅψασα.
Χαῖρε, δραχμὴ ἣν Θεὸς σαρκὶ εὗρε·
χαῖρε, κοινὴ ἡδονὴ τῶν Ἀγγέλων.

Χαῖρε, κόρη Θεόνυμφε.

Ποῦ ποιμένεις Νυμφίε; τετρωμένη τῷ πόθῳ, ἐβόα ἐν σταδίῳ ἡ μάρτυς· τὰς γὰρ νιφάδας τῶν αἰκισμῶν, ἡσυχῇ φέρουσα, τέμνετε, ξέετε, ἔλεγεν· ἥδιστα εἶμι πρὸς τὸν Νυμφίον μου, ἵνα ψάλλω σὺν Ἀγγέλοις.

Ἀλληλούϊα.

Ῥώμην τὴν ὑπὲρ φύσιν, τῆς Βαρβάρας ὁρῶσα, ἀκατάλληλον θηλείᾳ φύσει, βαβαὶ πῶς ἀθεάτως ἥσθη[15], ἡ φιλοπαρθενομάρτυς μητρόθεος βοῶσα οὕτω·

Χαῖρε, θεοτερπὲς θεῖον θαῦμα·
χαῖρε, τὸ ἐθελόθυτον θῦμα.
Χαῖρε, θεομάχων θεότευκτον θέριστον·
χαῖρε, ἀθεΐας θεόκλητον θήρατρον.
Χαῖρε, ἄνθος παρθενόφυτον, τῇ ἀθλήσει φοινιχθέν·
χαῖρε, κάλλος τὸ ἀπόθετον ἐν θεάτρῳ θεοθέν.
Χαῖρε, θεοσοφία θανατοῦσα δυσθέους·
χαῖρε, θεηγορία, θέλγουσα φιλοθέους.
Χαῖρε, δι' ἧς ὁ Θεὸς θᾶττον πείθεται·
χαῖρε, δι' ἧς ὁ Θεὸς τεθαυμάστωται.
Χαῖρε, θεοειδῶν ἄθλων ἡ θέα·
χαῖρε, Θεῷ θέουσα θεοφρόνως.

Χαῖρε, Κόρη Θεόνυμφε.

Συνήγορον κεκτημένη, τοῦ Θεοῦ τὴν μητέρα, τὴν ἀφθορίας πανταιτίαν· τὴν μεσῖτιν Θεοῦ καὶ ἡμῶν, τὴν πανάφθορον ὄντως, ὢ ἄφθορε, ἀπανέστης τῆς φύσεως, λαθοῦσα, καὶ αὐτῇ βοῶσα.

Ἀλληλούϊα.

---

[15] ἥσθη: τοῦ ῥήματος ἥδομαι

Τριάδα τῶν θυρίδων ὦ Βαρβάρα παρθένε, ἀνειποῦσα τὸ λουτρὸν φωτίζειν, μυστικὸν ἐδήλωσας λουτρόν, τῇ παμφαεστάτῃ Τριάδι λαμπόμενον, καὶ ψυχὰς καθαῖρον πάντων, οὕς Τριὰς διήγειρε βοᾷν σοι.
Χαῖρε, τῶν ἀθλοφόρων ἡ δόξα·
χαῖρε, τῶν θεολόγων ἡ μοῦσα.
Χαῖρε, ἀπειλαῖς καὶ βασάνοις μὴ εἴξασα·
χαῖρε, τὰ δεσμὰ προσπαθείας ἡ ῥήξασα.
Χαῖρε, ὅτι σὺ ἐξέπληξας τάξεις τὰς ἀγγελικάς·
χαῖρε, ὅτι σὺ διέρρηξας, τοῦ δολίου τὰς πλοκάς.
Χαῖρε, ἡ εἰσελθοῦσα, τοῦ Νυμφίου εἰς γάμους·
χαῖρε, ἀπολαβοῦσα παρ' αὐτοῦ τοὺς στεφάνους.
Χαῖρε, Σατᾶν, τοὺς λόχους νοήσασα·
χαῖρε, σαρκὸς σταυρῷ ἀφειδήσασα.
Χαῖρε, Τριάς, ἐν ᾗ χαίρει ὡς νύμφη·
χαῖρε, Μονάς, ἣν ἐδόξασε μόνη.

Χαῖρε, Κόρη Θεόνυμφε.

Ὕψος τῶν ἐγκωμίων, ὑπερβέβηκεν ὄντως, ἡ δόξα τῆς παρθένου σου Σῶτερ· τὴν πίστιν δὲ ἡμῶν προσιέμενος, ἀντιμετρήσειας τὴν ἀντίδοσιν, ὀλβιοδότα φιλάνθρωπε, τοῖς κακουμένοις ἡμῖν καὶ βοῶσιν.

Ἀλληλούϊα.

Φωτεινῇ σε ἐσθῆτι, φωτοφόρος φαιδρύνει Ἄγγελος διὰ Χριστὸν περιδυθεῖσαν, καὶ ὥσπερ νύμφην περιφανῆ, τῆς ἀφθαρσίας στολὴν ἀμφιέννυσιν, ἀποτινάξας σου τῆς σαρκὸς τὸ πάχος, καὶ φωνῶν σοι ταῦτα.
Χαῖρε, ἐκστᾶσα τῇ ἀλλοιώσει·
χαῖρε, παθοῦσα, ἀπαθῶς πάθος.

Χαῖρε, παλαιὸν ἀποδῦσα τὸν ἄνθρωπον·
χαῖρε, τὸν καινόν, ἐνδυθεῖσα Θεάνθρωπον.
Χαῖρε, ὅτι τὸ μακάριον, τέλος ἔτλης ἀνδρικῶς·
χαῖρε, ὅτι τὸ διάδημα, ἔχεις τὸ μαρτυρικόν.
Χαῖρε, πεποικιλμένη στίγμασι μαρτυρίου·
χαῖρε, περικομένη, στέφει ἀμαραντίνῳ.
Χαῖρε, Θεοῦ, φωνῆς ἡ αὐτήκοος·
χαῖρε, στοργῆς, αὐτοῦ ἡ ἐχέγγυος.
Χαῖρε, τῷ σῷ συναφθεῖσα νυμφίῳ·
χαῖρε, φωτὶ ἐξαστράπτουσα δόξης.

Χαῖρε, Κόρη Θεόνυμφε.

Χελιδὼν ὡς ὡραῖα, τρίζουσα ἐν σταδίῳ, σὺν Ἰουλιανῇ ἀηδόνι, διέδρας τὸν τορέα[16] πατέρα, ἀποπτᾶσα πρὸς τὸν οὐράνιον νυμφίον, τὸν πολυέραστον, ὅθι[17] μέλη μέλπεις οὕτως.

Ἀλληλούϊα.

Ψάλλουσί σου τοὺς ἄθλους, τῶν Ἁγίων χορεῖαι, ὡς ἔβλεψαν ὡραϊσμένην, παρθενικῶς καὶ μαρτυρικῶς, καὶ θαμβηθέντες πάντες ἠγάλλοντο· ἐκρότησαν· εὐφήμησαν· ἀνύμνησαν βοῶντες ταῦτα.
Χαῖρε, τὸ ἔαρ τῆς ἀφθαρσίας·
χαῖρε, τὸ κέαρ[18] τῆς εὐσεβείας.
Χαῖρε, τρυγών, ἡ ὡραία τοῦ ᾄσματος·
χαῖρε, σταγὼν, ἀποστάζουσα χάριτας.
Χαῖρε, δόξαν ἀδιάδοχον, ἔχουσα ἐν οὐρανῷ,
χαῖρε, φρόνημα ἀνάλωτον, δοῦσα μόνῳ τῷ Χριστῷ.

---

[16] Τορεὺς=αὐτὸς ποὺ διατρυπᾶ
[17] ὅθι=Ἐπίρρημα ποιητικόν, ὅπου, ἔνθα
[18] Κέαρ, κέαρος (συν. Κῆρ)=καρδία.

Χαῖρε, στᾶσα πρὸς πάλην, τοῦ ἐχθροῦ ἐρρωμένη·
χαῖρε, ὢ τῶν ἐρώτων, Χριστὸν νυμφευσαμένη.
Χαῖρε, δι' ἧς ᾐσχύνθη ὁ βάσκανος·
χαῖρε, δι' ἧς κατήργηται βάσανος.
Χαῖρε, σῶν ὑμνητῶν εὐκληρία·
χαῖρε, παθῶν λοιμικῶν σωτηρία.

Χαῖρε, κόρη Θεόνυμφε.

Ὢ παρθένε καὶ μάρτυς· ὢ Θεοῦ Λόγου νύμφη· ὢ παρθένων καὶ μαρτύρων τὸ ἄνθος· κεκτημένη παρρησίαν οἵαν, πρὸς τὴν πανυπέρβλητον Ἄνασσαν, ὑπὲρ ἡμῶν αὐτὴν ἀπέργασαι ἵλεων, τῶν βοώντων.

Ἀλληλούϊα.

## ΕΥΧΗ

Διὰ στίχων ἡρωϊκῶν

Μῆνιν ἢ ἔσχεε ὑπερμενέος, νέμεσίν τε καὶ ἄτην

Ἡ ἄπο λοιγὸν ἄμυναν, ἀεικέα ταρναρόεντα.

Οὐρανίαφι φίλη, περὶ κῆρι ἄνακτος ἀνάρχου.

Νύμφη ἄζυγε, Βαρβάρ' ἀεθλοφόρων μέγα κῦδος.

Δέξ' ἀγλαὰ τάδ' ἄποινα, ἴδος τε, ὕμνους τε Θεουδεῖς.

## ΕΥΧΗ ΕΤΕΡΑ

Νύμφη τιμαλφεστάτη καὶ ἐπουρανία, τοῦ σοῦ ἐπουρανίου Νυμφίου· ὁ μαργαρώδης καὶ διαυγὴς στέφανος· ἡ πανυπέλαμπρος δόξα πάντων τῶν

ἀθλοφόρων· ἡ πανένδοξος καὶ καλλίνικος· ἡ ἀθλοφόρος καὶ καλλιμάρτυς· ἡ Χριστομάρτυς καὶ Παρθενομάρτυς Βαρβάρα· ἡ τὸ προνόμιον δεξαμένη δίκην φερνῆς πολυτίμου, τὴν θείαν χάριν παρ' αὐτοῦ τοῦ Νυμφίου σου, ἀναχαιτίζειν αὐτοῦ τὸν θυμόν, καὶ τὴν δικαίαν καθ' ἡμῶν ἀγανάκτησιν· ἔτι δὲ αὕτη ἡ θανατηφόρος πληγὴ καὶ μάστιξ, τῶν λοιμικῶν ἀνηκέστων νόσων καὶ παθημάτων· πρὸ πάντων δέ, ὁ Πανώλης λοιμός, ὁ ἐξώλης τε καὶ ὀλέθριος· ὁ μέχρις ᾅδου ταμείων τοῦ ἀδηφάγου καταβιβάζων, τὴν ἀθλίαν ἡμῶν καὶ πολυαμάρτητον ζωήν. Δεόμεθά σου τοιγαροῦν ἐκτενῶς, φιλάνθρωπε νύμφη, τοῦ φιλανθρωποτάτου Δεσπότου ἡμῶν· τῆς σῆς γὰρ τοῦτο φιλανθρωπίας, καὶ τῆς πολλὰ δυναμένης ἐκ Θεοῦ σοι χάριτος· φείσασθαι ἡλικίας ἀνήβου ἀπειροκάκου, διὰ ἔκτισιν ἡμετέρων ἁμαρτιῶν ἀνηλεῶς θεριζομένης· δοῦναί τε ἡμῖν καιρὸν μετανοῆσαι γνησίως καὶ ὁλοκλήρως· γενοῦ τοίνυν ἡμῖν ἐγγυήτρια, ἀποστῆναι τῶν πονηρῶν ἡμῶν ἔργων, ἀκρασίας καὶ ἀδικίας τοῦ πλησίον· μακροθύμησον ἐφ' ἡμῖν ἔτι καὶ ἔτι, ἵνα μάθωμεν ἀγαθοποιεῖν· οὐδὲν γὰρ οὕτω δύσκολον ἀπομαθεῖν ὡς ἡ μοχθηρία· ἐπειδή περ σὺ αὐτὴ οὕτως ᾔτησας, καὶ οὕτως ἐπηύξω πρὸς τὸ τέλει τῶν ἄθλων σου:

«Ἄναρχε Θεέ, ὁ τὸν Οὐρανὸν τείνας ὡσεὶ καμάραν, τὴν δὲ γῆν ἐφ' ὑδάτων ἑδράσας· ὁ νεφέλαις ὕειν προστάττων, ἥλιόν τε φωταγωγὸν πᾶσι παραστησάμενος, καὶ τὰς κοινὰς ταύτας ἀπολαύσεις δικαὶοις τε καὶ ἀδίκοις, ἀγαθοῖς ἅμα καὶ πονηροῖς χορηγῶν· αὐτὸς καὶ νῦν ἐμοῦ δεομένης, εἰσάκουσον Βασιλεῦ, καὶ ὃς ἂν τοῦ Σοῦ ὀνόματος καὶ τῆς ἐμῆς ἀθλήσεως διαμνημονεύσῃ, μὴ λοιμώδης νόσος τῷ οἴκῳ αὐτοῦ ἐπισκήψειε· μὴ ἄλλο τι μηδέν, τῶν λωβᾶσθαι σώματα καὶ λυπεῖν δυναμένων· οἶδας γὰρ Χριστέ, ὅτι σάρκες ἡμεῖς καὶ αἶμα, ποίημα τῶν Σῶν ἀχράντων χειρῶν, καὶ Εἰκόνι Σῇ ὁμοιώσει τετιμημένοι».

Οὕτως ηὔξω, καὶ φωνή τις οὐρανόθεν παραδόξως ἠκούετο, ἀπαγγελομένη τῶν αἰτηθέντων τὴν ἐκπλήρωσιν· μὴ οὖν βδελύξῃ τὰ ῥυπαρὰ

ἡμῶν στόματα καὶ ἀχάλινα, λιχνώδη τε καὶ ἀκόρεστα. Δέξαι τούς δε τοὺς Ὕμνους, οὓς μετὰ δακρύων προσφέρομεν ἔμπροσθεν τῆς Σεπτῆς σου Εἰκόνος, ὡς πολύτιμα γέρα καὶ χαριστήρια· μὴ παρόψει τὴν πενιχρὰν ἡμῶν πίστιν καὶ τὸν διακαῆ πόθον, ἅ σοι προσάγομεν ὡς εὐῶδες θυμίαμα· εἰς δόξαν τε καὶ λατρείαν, ἧς αὐτὴ ἐπὶ γῆς ἐδόξασας ἐν τοῖς μέλεσιν, ὁμοουσίου καὶ προσκυνητῆς Τριάδος· Πατρός, Υἱοῦ, καὶ Πνεύματος, τῆς μιᾶς Θεότητός τε καὶ Βασιλείας πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. ΑΜΗΝ.

Θεὲ σῶζε ᾀεὶ τοὺς εὐλαβεῖς Χριστιανοὺς

ἐκ λοιμοῦ, λιμοῦ, σεισμοῦ τε, ὀδύνης καὶ θλίψεων.

Χαιρετισμοί εἴς τήν Ἁγίαν Βαρβάραν

Ἁγίου Ἰ ωάννου τοῦ Δαμασκηνοῦ

Σύ, ἡ Χριστοῦ ἀμνὰς καὶ περιστερὰ καὶ νύμφη, καὶ πᾶν εἴτι οὖν ὄνομα καλόν, καὶ χαρίεν, καὶ τίμιον, Βαρβάρα καλλίνικε Μάρτυς, γενικῶς τῶν ἀγώνων διαδραμοῦσα τὸν δίαυλον·

Χαῖρε τῶν ἄθλων ἐπάξια κομισαμένη τὰ ἔπαθλα ·

Χαῖρε, ᾗπερ πολλὰ τὰ βραβεῖα ὑπὲρ πολλῶν τῶν ἀγωνισμάτων ὀφείλεται·

Χαῖρε, ἡ τῶν ἐμπαθῶν τῆς σαρκὸς σκιρτημάτων λογισμῷ ἐπικρατήσασα σώφρονι·

Χαῖρε, ἡ τοῦ σώματος αἰσθήσεις, ἐν ἡλικίας νεότητι, πρεσβυτικῶς καὶ ἐμφρόνως παιδαγωγήσασα ·

Χαῖρε, ἡ τὴν παρθενίαν, καὶ πρὸ τοῦ μαρτυρίου, φυλάξαι τῷ Χριστῷ καθυποσχομένη ἄχραντον καὶ ἀμίαντον·

Χαῖρε, ἡ τὸ σωματικόν κάλλος τοῖς πάθεσι μὴ ρυπώσασα · ἀλλ’ ἀνέπαφον τῷ Ποιητῇ ἀναθεῖσα καὶ παραθεῖσα·

Χαῖρε, ἡ ἐν τῷ πύργῳ, ὡς ἐν ἀσφαλεῖ φρουρίῳ καὶ παρθένῳ εὐκτηρίῳ πυκνὰς καὶ ἀκραιφνεῖς τῷ Θεῷ προσευχὰς ἀναπέμπουσα, καὶ τῇ ἀπλανεῖ τῶν ὄντων θεωρίᾳ πρὸς τὸν Ποιητὴν ἀναχθεῖσα καὶ τοῦ μόνου ὄντως καλοῦ τε καὶ ἐραστοῦ ἀπλήστως κατατρυφήσασα.

Χαῖρε, ἡ ἐν τῷ σωματικοῦ ρύπου καθαρτηρίῳ λουτρῷ συμβολικῶς τὴν Τριάδα διὰ τῆς τῶν θυρίδων τριπλῆς φωταγωγίας ἐξεικονίσασα καὶ τὸ τῇ τριττῇ φωτοδοσίᾳ ψυχῶν μυστικὸν καὶ σωτήριον τυπικῶς διαγράφουσα βάπτισμα.

Χαῖρε, ἡ εὐθὺς τρανότατα τὴν τῆς ὁμοουσίου Τριάδος πίστιν θεολογικῷ διομολογήσασα στόματι·

Χαῖρε, ἡ τὸν ἕνα τῆς Ἁγίας Τριάδος, διὰ τὴν ἡμετέραν ἐναθρωπήσαντα σωτηρίαν, ἐν παρρησίᾳ κηρύξασα·

Χαῖρε, ἡ πλοῦτον καὶ τρυφήν, καὶ σηρῶν νημάτων ὑφάσματα, καὶ λίθων πολυτίμων, καὶ μαργαριτῶν χρυσοκολλήτων, καὶ πᾶσαν σωματικὴν

εὐκοσμίαν καὶ ὡραιότητα, καὶ τῶν ἐπιγείων τερπνοτήτων ἀπόλαυσιν διαπτύσασα, καὶ τούτων ἀνταλλαξαμένη αἰώνια ἀγαθὰ καὶ ἀκήρατα, τὰ ὀμμάτων ὅρασιν, καὶ ὤτων ἀκοήν, καὶ πᾶσαν αἴσθησίν τε καὶ νόησιν ὑπεραίροντα·

Χαῖρε, ἡ τὸ τῆς ἡλικίας τρυφερόν, καὶ τό τοῦ θήλεος ἀσθενές γενικῶς καὶ ἀνδρικῶς στερεώσασα συντόνῳ φρονήματι·

Χαῖρε, ἡ πρὸς τοὺς τῶν κολάσεων αἰκισμοὺς μὴ δειλανδρήσασα, θαρσαλέως δὲ μᾶλλον ἑαυτὴν ἐπιδοῦσα παντοίοις βασανιστηρίων εἴδεσι καὶ στρεβλώσεσι·

Χαῖρε, ἡ ἐν σαρκί διατρίβουσα Χριστοῦ τὴν δόξαν ἰδεῖν ἠξιωμένην, ὡς ἐν τῷ ὄρει τῶν μαθητῶν οἱ πρόκριτοι, σὺν Ἠλίᾳ Μωϋσεῖ τεθεαμένοι, προσηκόντως ἐμακαρίσθησαν·

Χαῖρε, ἡ τῶν μαστίγων τὰς ἀλγηδόνας, καὶ σιδήρων καταξέσεις, καὶ τραχυτάτων τριχίνων ὑφασμάτων ἐκτρίψεις, καὶ αἱμάτων ροάς, καὶ πυρὸς φλογισμούς, καὶ μελῶν ἐκτομάς, καὶ γυμνὴν ἐκπόμπευσιν, καὶ κεφαλῆς καὶ ζωῆς ὑφαίρεσιν διὰ Χριστὸν ὑπομείνασα, ἵνα τὸ σῶμα λοιπὸν λάβῃς ἀθάνατον, ἀφθαρσίας μαρμαρυγὰς ἀπαστράπτον, καὶ δόξης ἠμφιεσμένον στολὴν ἄφραστον καὶ ἀνεκλάλητον.

